τῆς δειλίας γὰρ αἰσχρὰ γίνεται τέκνα (Tr. adesp. 357)

καὶ ναὶ μὰ Δία τῆς ἀκολασίας καὶ τῆς δεισιδαιμονίας καὶ τοῦ φθόνου καὶ τῶν ἄλλων νοσημάτων ἁπάντων. ἄριστα δ' εἰρηκότος Ὁμήρου τό (Γ 39) 'Δύσπαρι εἶδος ἄριστε' καὶ τό (Ρ 142) '῞Εκτορ εἶδος ἄριστε' (ψόγου γὰρ ἀποφαίνει καὶ λοιδορίας
F ἄξιον ᾧ μηθέν ἐστιν ἀγαθὸν εὐμορφίας κάλλιον) ἐφαρμοστέον τοῦτο καὶ τοῖς ὁμοίοις, κολούοντα τοὺς μέγα φρονοῦντας ἐπὶ τοῖς μηδενὸς ἀξίοις, καὶ διδάσκοντα τοὺς νέους ὄνειδος ἡγεῖσθαι καὶ λοιδορίαν τὸ 'χρήμασιν ἄριστε' καὶ 'δείπνοις ἄριστε' καὶ 'παισὶν ἢ ὑποζυγίοις ἄριστε' καὶ νὴ Δία 'τῷ λέγειν ἐφεξῆς
35 ἄριστε'. | δεῖ γὰρ ἐκ τῶν καλῶν διώκειν τὴν ὑπεροχὴν καὶ περὶ τὰ πρῶτα πρῶτον εἶναι καὶ μέγαν ἐν τοῖς μεγίστοις· ἡ δ' ἀπὸ μικρῶν δόξα καὶ φαύλων ἄδοξός ἐστι καὶ ἀφιλότιμος. τοῦτο δ' ἡμᾶς εὐθὺς ὑπομιμνήσκει τὸ παράδειγμα τὸ τοὺς ψόγους ἀποθεωρεῖν καὶ τοὺς ἐπαίνους ἐν τοῖς Ὁμήρου μάλιστα ποιήμασιν· ἔμφασις γὰρ γίγνεται μεγάλη τοῦ τὰ σωματικὰ καὶ τυχηρὰ μὴ μεγάλης ἄξια σπουδῆς νομίζειν. πρῶτον μὲν γὰρ ἐν ταῖς δεξιώσεσι καὶ ἀνακλήσεσιν οὐ καλοὺς οὐδὲ πλουσίους οὐδ' ἰσχυροὺς προσαγορεύουσιν, ἀλλὰ τοιαύταις εὐφημίαις χρῶνται (Β 173)

'διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ'

καί (Η 47)

B '῞Εκτορ υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε'

καί (Τ 216)

'ὦ Ἀχιλεῦ Πηλέος υἱέ, μέγα κῦδος Ἀχαιῶν'

καί (Λ 608)

'δῖε Μενοιτιάδη, τῷ ἐμῷ κεχαρισμένε θυμῷ.'

ἔπειτα λοιδοροῦσιν οὐδὲν ἐφαπτόμενοι τῶν σωματικῶν, ἀλλὰ τοῖς ἁμαρτήμασι τοὺς ψόγους ἐπιφέροντες

'οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων' (Α 225)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/76 UNIVERSITÄT LEIPZIG